**16** Ath. 690c; Clem. *Paed.* 2. 8. 64. 4

κἀλειφόμην μύροισι καὶ θυώμασιν
καὶ βακκάρι· καὶ γάρ τις ἔμπορος παρῆν.

**17** *Et. Gen./Magn.* s.v. ὀρσοθύρη . . . εἴρηται παρὰ τὸ ὀρούειν εἰς αὐτήν· λέγει δὲ καὶ Σιμωνίδης κακοσχόλως·

καὶ τῆς ὄπισθεν †ὀρσοθύρης ἠλσάμην.

**18** *Et. Gen./Magn.* et Zonaras s.v. διασαυλούμενος

καὶ σαῦλα βαίνων ἵππος ὣς †κορωνίτης.

**19** Pollux 2. 65

ἢ τυφλὸς ἤ τις σκνιπὸς ἢ μόγις βλέπων.

**20** Schol. Hom. *Od.* 14. 435, "τὴν μὲν ἴαν Νύμφῃσι" ὡς ποιμενικοῖς προστάταις. καὶ Σιμωνίδης θύειν αὐτούς φησι Νύμφαις καὶ

Μαιάδος τόκωι·
οὗτοι γὰρ ἀνδρῶν αἷμ' ἔχουσι ποιμένων.

**21** (*a*) Strabo 13. 2. 6 p. 619

σὺν πορδακοῖσιν ἐκπεσόντες εἵμασιν.